www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΒΟΥΚΟΛΟΝ, ΠΡΩΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΜΥΡΝΗΣ

(Οὗ ἡ μνήμη τῇ 6ῃ Φεβρουαρίου)

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2009 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΒΟΥΚΟΛΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΣΜΥΡΝΗΣ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ΄(142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.·

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου,καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄ Ὁ ὑψωθείς.*

Τὸν τοῦ Δεσπότου ἱεράρχην Βουκόλον,
Σμύρνης ποιμάναντα σεπτὴν ἐκκλησίαν,
καὶ εἰληφότα στέφανον ζωῆς ἀληθινῆς,
πρέσβυν σε πρὸς Κύριον προβαλλόμεθα πίστει,
ὅπως δῷ τοῦ σώματος καὶ ψυχῆς τὴν ὑγείαν,
ἵνα τιμῶμεν ὕμνοις καὶ ᾠδαῖς,
σὴν θείαν μνήμην,
ἑκάστοτε Ἅγιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον. Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:*

***«Βουκόλε, ποίμανον λαὸν πρὸς σωτηρίαν. Ἀ(θανάσιος)».***

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Βουκόλε τῆς Σμύρνης σοφὲ ποιμήν, εἰδότες ἣν ἔχεις, παῤῥησίαν πρὸς τὸν Θεόν, αἰτούμεθα πίστει τὰς εὐχάς σου, ὅπως ποιῶμεν Κυρίου τὸ θέλημα.

Ὁ γόνος σοι ἔδειξε τῆς βροντῆς, Βουκόλε τὴν πίστιν, καὶ ὡδήγησεν εἰς Χριστόν, μεθ᾽ οὗ ἱκετεύσατε ἐμμένειν, ἡμᾶς εἰς πίστιν πατέρων ὀρθόδοξον.

Ὑπάλειψον Πάτερ σοὺς ὑμνητάς, σεπταῖς σου πρεσβείαις, ἵνα ὦμεν πρὸς τὸν ἐχθρόν, γενναῖοι ὁπλῖται καὶ τὴν νίκην, τὴν κατ᾽ αὐτοῦ ἐπιτύχωμεν ἄριστα.

*Θεοτοκίον*

Κυρία καὶ Δέσποινα τοῦ παντός, Χριστὸν μὴ ἐλλείπης, ἱκετεύειν ὑπὲρ ἡμῶν, πληθὺν παραβλέπειν τῶν σφαλμάτων, καὶ χορηγεῖν τὴν ἐκ βάθους μετάνοιαν.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανόδρομον ἔσχες, τὸν ἐπὶ γῆς βίον σου, θέλημα Κυρίου Βουκόλε, τηρῶν ἀείποτε· ὅθεν ἀξίωσον, τοὺς σὲ ἐν πίστει τιμῶντας, πάντοτε πορεύεσθαι, ὁδὸν θεάρεστον.

Λόγοις θείοις Βουκόλε, πρὸς τὴν ζωὴν εἵλκυσας, τὴν ἀληθινὴν τοὺς Σμυρναίους, καὶ τούτους ἔδειξας, Χριστοῦ οἰκήματα, διὸ ἀνάδειξον πάτερ, καὶ ἡμᾶς αἰτοῦντάς σε, οἴκους τοῦ Πνεύματος.

Ἐξ εἰδώλων τῆς πλάνης, μεθοδικῶς ἥρπασας, πάνσοφε Βουκόλε ἀνθρώπους καὶ τῷ βαπτίσματι, Χριστῷ συνήρμοσας· ὅθεν ἡμᾶς σαῖς πρεσβείαις, Τούτῳ πάτερ ἅρμοσον, καὶ θρέψον χάριτι.

*Θεοτοκίον*

Παναγία Παρθένε, τὸν τῆς ζωῆς Κύριον, τέξασα ἀφράστως ἐν χρόνῳ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

χεῖράς σου ἔκτεινον, καὶ Τούτῳ πρέσβευε, ζωὴν αἰώνιον δοῦναι, πᾶσι τοῖς ὑμνοῦσί σε, ὡς Θεομήτορα.

Διάσωσον, ἀπὸ βελῶν πολεμίου τοὺς σοὺς οἰκέτας, ὦ Βουκόλε τῆς Σμύρνης σεπτὲ ἐπίσκοπε, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, ἐκτενῶς τῷ Δεσπότῃ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Βουκόλε ποιμήν, τῆς Σμύρνης ἀναδέδειξαι, καὶ κόσμου παντός, ἱκέτης πρὸς τὸν Κύριον, Ὃν δυσώπει πάντοτε, ὑπὲρ ἡμῶν τῶν αἰτούντων σε, τὴν ἄφεσιν ἁμαρτιῶν, παρασχεῖν καὶ μέγα ἔλεος.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Ἱερῶς παριστάμενος, ἐν εὐχαῖς Βουκόλε καθάπερ ἄγγελος, καὶ ἡμᾶς πῶς δεῖ ἐκδίδαξον, τῷ Χριστῷ προσεύχεσθαι ἑκάστοτε.

Μιασμοῦ τῆς αἱρέσεως, καθαροὺς Βουκόλε τήρει ἀείποτε, τοὺς ἐκ πόθου εὐφημοῦντάς σε, τῆς Ὀρθοδοξίας τὸν ὑπέρμαχον.

Ἀληθείας διδάσκαλε, τοῦ Εὐαγγελίου Βουκόλε πάνσοφε, εὐαγγέλια ἀνάδειξον, ζῶντα τοὺς γεραίροντας τὴν μνήμην σου.

*Θεοτοκίον*

Νίκην χάρισαι Δέσποινα, πᾶσι χριστωνύμοις τοῖς σοὶ προστρέχουσι, καὶ τοῖς πάθεσι παλαίουσιν, ἵνα ἐντολὰς Θεοῦ φυλάξωσι.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

Ὅρμος γαληνός, τοῖς τιμῶσί σε γενήθητι, Βουκόλε χάριν εἰρηνόδωρον, ἐκ τῶν τοῦ βίου, ταραχῶν παρέχων πάντοτε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νοῦν ἐκ λογισμῶν, καθαρὸν Βουκόλε τήρησον, τῶν αἰτουμένων μεσιτείαν σου, μνήμην Κυρίου, καθιστῶν αὐτῷ ὡς φύλακα.

Λῦσον τὴν ἀχλύν, μεριμνῶν τοῦ βίου Ἅγιε, τὴν τὰς ψυχὰς ἡμῶν σκοτίζουσαν, φωτὶ Κυρίου, τοῦ αὐγάζοντος τὰ σύμπαντα.

*Θεοτοκίον*

Ἄνασσα σεμνή, ἁμαρτίας ἐλευθέρωσον, τοὺς μεγαλύνοντας τὴν δόξαν σου, καὶ τοῦ βελίαρ, τὰς παγίδας πάσας σύντριψον.

*Ὠιδὴ Ϛ'. Τὴν δέησιν.*

Ὁ πόλεμος, τῶν παθῶν οὐ παύεται, καὶ ὡς φύλλον ὑπ' ἀνέμου κλονοῦμαι, ὅθεν βοῶ, ἱεράρχα Βουκόλε, ταῖς σαῖς εὐχαῖς σπεῦσον δράμε ἐνίσχυσον, καὶ στήριξόν μου τὰ σφυρά, ὅπως χαίρων δοξάζω τὴν μνήμην σου.

Νεότητα, ὡς σειρῆνες ἕλκουσιν, αἱ τοῦ κόσμου ἡδοναὶ καὶ κακίαι, καὶ τοῦ Χριστοῦ, ἀποσπάσαι ζητοῦσιν, ἵνα κρημνῷ ἀπωλείας συντρίψωσι· διὸ Βουκόλε πατρικῶς, πονηροῦ τὰς ἐνέδρας διάλυσον.

Πληθύνουσιν, αἱ τῶν νόσων ἔφοδοι, καὶ τὸ σῶμα ἀλγηδόνων πληροῦται, ἡ δὲ ψυχή, αὐτομάτως συμπάσχει, καὶ κυκεὼν ὁ τοῦ ἄγχους πληθύνεται· Βουκόλε θεῖε ἰατρέ, ἴασαί με κατ' ἄμφω σοῦ δέομαι.

*Θεοτοκίον*

Ῥοῦν ἔστησας, ἁμαρτίας Δέσποινα, τῷ ἀχράντῳ καὶ σεπτῷ τοκετῷ σου, καὶ τὴν χαράν, ἀντεισῆξας τῷ κόσμῳ, ἣν ὁ Χριστὸς χριστωνύμοις χαρίζεται, ἐξ ἧς μερίδα δὸς ἡμῖν, τοῖς ἀεὶ προσκυνοῦσι τὴν δόξαν σου.

Διάσωσον, ἀπὸ βελῶν πολεμίου τοὺς σοὺς οἰκέτας, ὦ Βουκόλε τῆς Σμύρνης σεπτὲ ἐπίσκοπε, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, ἐκτενῶς τῷ Δεσπότῃ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Τῷ Χριστῷ ὑποτάξας τὸν βίον σου, χαρισμάτων τοῦ Πνεύματος πέπλησαι, ὦ Βουκόλε, εὐεργετῶν τὰ πλήθη τῶν πιστῶν, καὶ τούτους πρὸς αἴνεσιν Θεοῦ, ἄγεις αἰτήματα πληρῶν, φιλοτέκνως ἑκάστοτε. Ὅθεν δίωξον νόσους, λύσιν δὸς προβλημάτων, καὶ τὴν εἰρήνην ταῖς ψυχαῖς, οὐρανόθεν πέμψον Ἅγιε.

*Καὶ εὐθὺς τὸ Προκείμενον.*

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

*Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.*

## Εὐαγγέλιον.

*Ἐκ τοῦ κατὰ Ἰωάννην (ι΄ 7-16).*

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα δι᾽ ἐμοῦ, ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ Ποιμὴν ὁ καλός· ὁ Ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἐστὶν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνα με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Στίχ. Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.*

Χάριν ἐνδυσάμενος, ὥσπερ ἱμάτιον πάτερ, ἐκ παιδὸς ἠξίωσαι, μυηθῆναι ἄριστα τὰ τῆς πίστεως· καὶ λαβὼν ἄνωθεν, προεδρίαν Σμύρνης, ἔν τε ῥήμασι καὶ θαύμασιν, εἵλκυσας πάνσοφε, ἐξ εἰδώλων πλήθη πρὸς Κύριον. Διὸ Βουκόλε πρόσδεξαι, καὶ ἡμῶν φωνὴν τὴν ἱκέσιον, καὶ θερμὸς προστάτης, ἐν θλίψεσι τοῦ βίου καὶ δεινοῖς, φάνηθι πᾶσι τοῖς τέκνοις σου, ὅπως σε δοξάζωμεν.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ῥῦσαι πάτερ καρκίνου, καὶ ψυχῶν ἀσθενείας τοὺς σοὶ προσπίπτοντας, καὶ δίδου εὐεξίαν, ὅπως χαίροντες ὕμνον, τῷ Δεσπότῃ προσάγωσι, καὶ σὲ τιμῶσιν ἀεί, Βουκόλε θεοφόρε.

Ὅταν νέφη κυκλῶσι, τὴν ψυχὴν ἀθυμίας Βουκόλε ἅγιε, καὶ λογισμοὶ παντοῖοι, γεννῶνται ἐν καρδίᾳ, σὺ εὐχαῖς σου με στήριξον, ὅπως ἀεί σε τιμῶ, καὶ χαίρων μεγαλύνω.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στήριξόν με Βουκόλε, πολεμούμενον σφόδρα τῇ ἀμελείᾳ μου, ἐγρήγορσιν διδούς μοι, καὶ νῆψιν τοῦ νοός μου, ὅπως μή με κοιμώμενον, εὑρὼν Νυμφίος Χριστός, ἔξω νυμφῶνος κλείσῃ.

*Θεοτοκίον*

Σωτηρίαν τεκοῦσα, τοῖς ἀνθρώποις Παρθένε Χριστὸν φιλάνθρωπον, Αὐτὸν ἀεὶ δυσώπει, συγχώρησιν διδόναι, τοῖς ἀείποτε σφάλλουσι, καὶ δωρεὰν ὡς Θεός, ἡμᾶς κατελεήσῃ.

*Ὠιδὴ η'. Τὸν βασιλέα.*

Ὥσπερ τὴν Σμύρνην, πρὸς τὸν Χριστὸν καθωδήγεις, οὕτω πάτερ ὁδήγησον Βουκόλε, τοὺς σὲ ἀνυμνοῦντας, πρὸς τὸν καλὸν Δεσπότην.

Τὴν τῶν εἰδώλων, ἐξαλείψας μανίαν, σοῖς ἱδρῶσι Βουκόλε σύντριψόν μου, τῆς ψυχῆς τὰ πάθη, ἃ προσκυνῶ ἀφρόνως.

Ἤθροισας πλοῦτον, ἐν τῇ ψυχῇ σου Βουκόλε, ἀρετῶν θεϊκῶν ὧν περ μερίδα, χάρισαι βοῶμεν, τοῖς σὲ ἐξαιτουμένοις.

*Θεοτοκίον*

Ῥερυπωμένον, τῆς ψυχῆς τὸν χιτῶνα, ἔχων Μῆτερ, ἐκ τῶν ἁμαρτιῶν μου, τὴν λευκαντικήν σου, αἰτοῦμαι μεσιτείαν.

*Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.*

Ἱκέτευε Δεσπότην, πάτερ φιλευσπλάγχνως, καὶ ἀσθενεῖς ἐκ τῆς κλίνης ἀνάστησον, τὴν δὲ χαρὰν λυπουμένοις, δίδου ἀσάλευτον.

Αἰτούμεθα Βουκόλε, ὅπως μεσιτεύῃς, καὶ βασιλεύῃ εἰρήνη ἀκλόνητος, ἐν οἴκοις ὅσοι τιμῶσι, μνήμην ἁγίαν σου.

Ναὸν τὸν ἅγιόν σου, δεῖξον ἰατρεῖον, καὶ ἐν κινδύνοις Βουκόλε προσφύγιον, ἐν περιστάσεσι βίου, καὶ πάσαις θλίψεσι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

Ἀεὶ φάνηθι πρέσβις, Πάναγνε Παρθένε, σὺν τῷ Βουκόλῳ Κυρίου δεόμενοι, ὅπως Αὐτοῦ βασιλείαν, ἡμῖν χαρίσηται.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*

Τῇ ἠγαπημένῳ μύστῃ Χριστοῦ,
Βουκόλε θεόφρον,
μαθητεύσας ὡς καθαρός,
ὤφθης Ἐκκλησίας,
ποιμὴν τῆς ἐν τῇ Σμύρνῃ,
καὶ τῷ Καλῷ Ποιμένι,
ταύτην ὡδήγησας.

Δεῖξον ἰατρεῖον τὸν σὸν ναόν,
ἅγιε Βουκόλε,
τοῖς προστρέχουσιν ἐν αὐτῷ,
ἔνθα τὴν εἰρήνην,
εὑρίσκοντες Κυρίου,
σὴν θείαν μεσιτείαν,
πόθῳ δοξάζωμεν.

Τὴν ἀγάπην ἔνθες ψυχαῖς ἡμῶν,
ἣν ἐκ Θεολόγου,

ἐδιδάχθης ἀπὸ παιδός,
πάντιμε Βουκόλε,
πρὸς τὸν Χριστὸν Δεσπότην,
καὶ πάντας τοὺς ἀνθρώπους,
ταῖς μεσιτείαις σου.

Ὥσπερ δένδρον πάτερ πνευματικόν,
ὁ σεπτὸς ναός σου,
τὴν ἀνάψυξιν ταῖς ψυχαῖς,
παρέχει Βουκόλε,
καὶ ὑπανάπτει πόθον,
πρὸς Κύριον Οὗ λάτρης,
ἐφάνης γνήσιος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.΄ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Σμύρνης ἱερώτατε ποιμήν, καὶ πιστῶν ἁπάντων προστάτα, Βουκόλε πάντιμε, λύτρωσαι τοὺς δούλους σου, ἀσθενειῶν καὶ δεινῶν·συζυγίας εὐλόγησον, καὶ στήριξον οἴκους, ἄγχη τὰ δυσβάστακτα,
ψυχῶν ἐκδίωξον, πέμπων τὴν εἰρήνην Κυρίου, ὅπως εὐγνωμόνως τιμῶμεν,
καὶ πανηγυρίζωμεν τὴν μνήμην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,

καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδά μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*
* * *

*Στίχοι*
*Σμύρνης πάντιμε ποιμενάρχα Βουκόλε,*
*Σμύρνισον ἡμᾶς μυστικῶς οὐρανόθεν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ